# Α΄ ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ *

Ἀνὰ βάρβιτον δονήσω·
Ἄεθλος μὲν οὐ πρόκειται,
Μελέτη δ᾽ ἔπεστι παντὶ
Σοφίης λαχόντ᾽ ἄωτον.
Ἐλεφαντίνῳ δὲ πλήκτρῳ
Λιγυρὸν μέλος κροαίνων
Φρυγίῳ ῥυθμῷ βοήσω,
Ἅτε τις κύκνος Καΰστρου,
Πολιοῖς πτεροῖσι μέλπων
Ἀνέμου σύναυλον ἠχήν.
Σὺ δὲ, Μοῦσα, συγχόρευε.
Ἱερὸν γάρ ἐστι Φοίβου
Κιθάρη, Δάφνη, Τρίπους τε.
Λαλέω δ᾽ ἔρωτα Φοίβου,
Ἀνεμώλιον τὸν οἶστρον·
Σαόφρων γάρ ἐστι κούρη·
Τὸ μὲν ἐκπέφευγε κέντρον,
Φύσεως δ᾽ ἄμειψε μορφήν,
Φυτὸν εὐθαλὲς δ᾽ ἐπήχει.
Ὁ δὲ Φοῖβος ἦε Φοῖβος,
Κρατέειν κόρην νομίζων·
Χλοερὸν δρέπων δὲ φύλλον
Ἐδόκει τελεῖν Κυθήρην.
Ἄγε, θυμὲ, πῆ μέμηνας,